111.1 *γ ή ρ α ο ς* *ἄλκαρ* 152 *γ ῆ ρ α ς* *ἡμέρας* (sc. *ἡ ἑσπέρα*) Δημόκριτος 294.2 *γ ή ρ α ο ς* *δὲ σωφροσύνη ἄνθος* 295.2 *ἐς γ ῆ-ρ α ς* *ἀφίξεται* 296.1 *γ ῆ ρ α ς* *ὁλόκληρός ἐστι πήρωσις*. Πρβλ. *γηραιός*.

**γηράσκειν** (τύπ. *γηρᾶν*). Γερνῶ, grow old, Ξενοφάνης 9 *ἀνδρὸς γ η ρ έ ν τ ο ς* Δημόκριτος 206 *γ η ρ ά σ κ ε ι ν* *ἐθέλουσιν*.

**Γί(γ)νεσθαι** (ἀντιδ. *Εἶναι*). Γίγνεσθαι, become, Ἡράκλειτος 1.4 *γ ι ν ο μ έ ν ω ν* *γὰρ πάντων κατὰ τὸν λόγον* 75 *τοὺς καθεύδοντας . . . ἐργάτας εἶναι καὶ συνεργοὺς τῶν ἐν τῷ κόσμῳ γ ι ν ο μ έ-ν ω ν* 80 *γ ι ν ό μ ε ν α* *πάντα κατ' ἔριν καὶ χρεὼν* Λεύκιππος 2 *οὐδὲν χρῆμα μάτην γ ί ν ε τ α ι, ἀλλὰ πάντα ἐκ λόγου τε καὶ ὑπ' ἀνάγκης* **1** (ἀντίθ. *ὄλλυσθαι*). Γίνομαι/γεννιέμαι, come into being, Ξενοφάνης 29 *γῆ καὶ ὕδωρ πάντ' ἔσθ' ὅσα γ ι ν ο ν τ(α ι) ἠδὲ φύονται* Ἡράκλειτος 20 *γ ε ν ό μ ε ν ο ι* *ζώειν ἐθέλουσι μόρους τ' ἔχειν· καὶ παῖδας καταλείπουσι μόρους γ ε ν έ σ θ α ι* 39 *ἐν Πριήνῃ Βίας ἐ γ έ ν ε τ ο ὁ Τευτάμεω* Παρμενίδης 8.13 *οὐδέ ποτ' ἐκ μὴ ἐόντος ἐφήσει πίστιος ἰσχὺς γ ί γ ν ε σ θ α ί τι παρ' αὐτό· τοῦ εἵνεκεν οὔτε γ ε ν έ σ θ α ι οὔτ' ὄλλυσθαι ἀνῆκε Δίκη χαλάσασα πέδῃσιν* 8.19-20 *πῶς δ' ἂν ἔπειτ' ἀπόλοιτο ἐόν; πῶς δ' ἄν κε γ έ ν ο ι τ ο; εἰ γὰρ ἔ γ ε ν τ', οὐκ ἔστ(ι), οὐδ' εἴ ποτε μέλλει ἔσεσθαι* 8.40 *γ ί γ ν ε σ θ α ί τε καὶ ὄλλυσθαι* 11 *πῶς γαῖα καὶ ἥλιος ἠδὲ σελήνη . . . ὡρμήθησαν γ ί γ ν ε σ θ α ι* Μέλισσος 1 *εἰ γὰρ ἐ γ έ ν ε τ ο, ἀναγκαῖόν ἐστι πρὶν γ ε ν έ σ θ α ι εἶναι μηδέν· εἰ τοίνυν μηδὲν ἦν, οὐδαμὰ ἂν γ έ ν ο ι τ ο οὐδὲν ἐκ μηδενὸς* 2 *ὅτε τοίνυν οὐκ ἐ γ έ ν ε τ ο, ἔστι τε καὶ ἀεὶ ἦν καὶ ἀεὶ ἔσται καὶ ἀρχὴν οὐκ ἔχει οὐδὲ τελευτήν, ἀλλ' ἄπειρόν ἐστιν. εἰ μὲν γὰρ ἐ γ έ ν ε τ ο, ἀρχὴν ἂν εἶχεν (ἤρξατο γὰρ ἄν ποτε γ ε ν ό μ ε ν ο ν) καὶ τελευτὴν (ἐτελεύτησε γὰρ ἄν ποτε γ ε ν ό μ ε ν ο ν)* 3 *τὸ ποτὲ γ ε ν ό μ ε ν ο ν* 7(2) *εἰ γὰρ ἑτεροιοῦται, ἀνάγκη τὸ ἐὸν μὴ ὁμοῖον εἶναι, ἀλλὰ ἀπόλλυσθαι τὸ πρόσθεν ἐόν, τὸ δὲ οὐκ ἐὸν γ ί-ν ε σ θ α ι* 7(3) *ὁ γὰρ κόσμος ὁ πρόσθεν ἐὼν οὐκ ἀπόλλυται οὔτε ὁ μὴ ἐὼν γ ί ν ε τ α ι* 7 (5) *ἀπὸ γὰρ ἂν ὄλοιτο τὸ ὑγιὲς καὶ τὸ ἐόν, τὸ δὲ οὐκ ἐὸν γ έ ν ο ι τ ο* 8(3) *καὶ τὸ ζῶον ἀποθνήσκειν καὶ ἐκ μὴ ζῶντος γ ί ν ε σ θ α ι . . . ἐξ ὕδατός τε γῆ καὶ λίθος γ ί ν ε σ θ α ι* 8(6) *ἢν δὲ μεταπέσῃ, τὸ μὲν ἐὸν ἀπώλετο, τὸ*

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

δὲ οὐκ ἐὸν γ έ γ ο ν ε ν Ἐμπεδοκλῆς 9.3 τότε μὲν τὸ <λέγουσι> γ ε ν έ σ θ α ι 11 οἳ δὴ γ ί γ ν ε σ θ α ι πάρος οὐκ ἐὸν ἐλπίζουσιν 12 ἔκ τε γὰρ οὐδάμ' ἐόντος ἀμήχανόν ἐστι γ ε ν έ σ θ α ι 17.11 τῇ μὲν γ ί γ ν ο ν τ α ί τε καὶ οὔ σφισιν ἔμπεδος αἰὼν 26.4 γ ί-ν ο ν τ(α ι) ἄνθρωποί τε καὶ ἄλλων ἔθνεα θηρῶν 71.3-4 πῶς ὕδατος γαίης τε καὶ αἰθέρος ἡλίου τε κιρναμένων εἴδη τε γ ε ν ο ί α τ ο χροῖά τε θνητῶν τόσσ', ὅσα νῦν γ ε γ ά α σ ι συναρμοσθέντ' Ἀφροδίτῃ 89 γνούς, ὅτι πάντων εἰσὶν ἀπορροαί, ὅσσ' ἐ γ έ ν ο ν τ ο 124 τοίων ἔκ τ' ἐρίδων ἔκ τε στοναχῶν ἐ γ έ ν ε σ θ ε Ἀναξαγόρας 17 τὸ δὲ γ ί ν ε σ θ α ι καὶ ἀπόλλυσθαι οὐκ ὀρθῶς νομίζουσιν οἱ Ἕλληνες· οὐδὲν γὰρ χρῆμα γ ί ν ε τ α ι οὐδὲ ἀπόλλυται, ἀλλ' ἀπὸ ἐόντων χρημάτων συμμίσγεταί τε καὶ διακρίνεται. καὶ οὕτως ἂν ὀρθῶς καλοῖεν τό τε γ ί ν ε σ θ α ι συμμίσγεσθαι καὶ τὸ ἀπόλλυσθαι διακρίνεσθαι Διογένης 2.10 οὐδ' ἂν οὔτε φυτὸν ἐκ τῆς γῆς φῦναι οὔτε ζῷον οὔτε ἄλλο γ ε ν έ σ θ α ι οὐδὲν 7 τῶν δὲ τὰ μὲν γ ί ν ε τ α ι, τὰ δὲ ἀπολείπει Δημόκριτος A 99 a (DK II 108,21) τὸν αὐτὸν τρόπον... γ ε ν έ σ θ α ι καὶ τὰ θαυμαστὰ καὶ τὰ παραλογώτατα τῆς φύσεως 144 μουσικὴν ... νεωτέραν εἶναι ... μὴ ἀποκρῖναι τἀναγκαῖον, ἀλλὰ ἐκ τοῦ περιεῦντος ἤδη γ ε ν έ σ θ α ι 277 ἀνάγκη γάρ, ὃς (sc. παῖς) ἂν γ έ ν η τ α ι, τούτῳ χρῆσθαι 278.5 ἀλλ' ὅταν γ έ ν η τ α ι (sc. ἔκγονα), ταλαιπωρεῖ καὶ τρέφει ἕκαστον ὡς δύναται Ἐμπεδοκλῆς 23.10 ὅσσα γε δῆλα γ ε-γ ά κ α σ ι ν ἄσπετα 38 ἐξ ὧν δῆλ' ἐ γ έ ν ο ν τ ο τὰ νῦν ἐσορῶμεν ἅπαντα **2.** Γίνομαι/προκύπτω, grow out of/result from, Ξενοφάνης 2.20 σμικρὸν δ' ἄν τι πόλει χάρμα γ έ ν ο ι τ' Ἐμπεδοκλῆς 26.10 τῇ μὲν γ ί γ ν ο ν τ α ί τε καὶ οὔ σφισιν ἔμπεδος αἰὼν 88 μία γ ί γ ν ε τ α ι ἀμφοτέρων ὄψ 98.5 ἐκ τῶν αἷμά τε γ έ ν τ ο καὶ ἄλλης εἴδεα σαρκὸς Φιλόλαος 6.9 εἰ μὴ ἁρμονία ἐπεγένετο ᾡτινιῶν ἄδε τρόπῳ ἐ γ έ ν ε τ ο Ἀναξαγόρας 10 πῶς γὰρ ἂν ἐκ μὴ τριχὸς γ έ ν ο ι τ ο θρὶξ Διογένης 2.9 οὔτε ὠφέλησις τῷ ἑτέρῳ <γ ε ν έ σ θ α ι ἀπὸ τοῦ ἑτέρου> οὔτε βλάβη Δημόκριτος A 135 (DK II 116,27) περὶ δὲ τοῦ φρονεῖν ἐπὶ τοσοῦτον εἴρηκεν ὅτι γ ί ν ε τ α ι συμμέτρως ἐχούσης τῆς ψυχῆς κατὰ τὴν κρῆσιν 2 Τριτογένεια ... φρόνησις ... γ ί ν ε τ α ι δὲ ἐκ τοῦ φρονεῖν τρία ταῦτα 157 ἀφ' ὧν τὰ μεγάλα καὶ λαμπρὰ γ ί ν ο ν τ α ι τοῖς ἀνθρώποις 172 ἀφ' ὧν ἡμῖν τἀγαθὰ γ ί γ ν ε τ α ι 178 ἐξ ὧν ἡ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



κακότης γίνεται 179 μάλα γὰρ ἐκ τούτων φιλεῖ γίγνεσθαι ἡ αἰδὼς 191.2 ἀνθρώποισι γὰρ εὐθυμίη γίνεται μετριότητι τέρψιος καὶ βίου συμμετρίῃ 194 αἱ μεγάλαι τέρψεις ἀπὸ τοῦ θεᾶσθαι τὰ καλὰ τῶν ἔργων γίνονται 278.10 ὥστε καὶ ἐπαύρεσίν τινα γίγνεσθαι ἀπὸ τοῦ ἐκγόνου **3.** Γίνομαι/μεταβάλλομαι, become/alter, Ἡράκλειτος 7 εἰ πάντα καπνὸς γένοιτο, ῥῖνες ἂν διαγνοῖεν 31 γῆ θάλασσα διαχέεται, καὶ μετρέεται εἰς τὸν αὐτὸν λόγον ὁκοῖος πρόσθεν ἦν ἢ γενέσθαι γῆ 36 ψυχῇσιν θάνατος ὕδωρ γενέσθαι, ὕδατι δὲ θάνατος γῆν γενέσθαι, ἐκ γῆς δὲ ὕδωρ γίνεται, ἐξ ὕδατος δὲ ψυχὴ 77 ψυχῇσι ... τέρψιν ἢ θάνατον ὑγρῇσι γενέσθαι Μέλισσος 8 (3) δοκεῖ δὲ ἡμῖν τό τε θερμὸν ψυχρὸν γίνεσθαι Ἐμπεδοκλῆς 17.35 γίγνεται ἄλλοτε ἄλλα καὶ ἠνεκὲς αἰὲν ὁμοῖα 82 ταὐτὰ τρίχες καὶ φύλλα καὶ οἰωνῶν πτερὰ πυκνὰ καὶ λεπίδες γίγνονται ἐπὶ στιβαροῖσι μέλεσσιν 96 τὰ δ' ὀστέα λευκὰ γένοντο Ἁρμονίης κόλλῃσιν ἀρηρότα θεσπεσίηθεν 127 ἐν θήρεσσι λέοντες ὀρειλεχέες χαμαιεῦναι γίγνονται, δάφναι δ' ἐνὶ δένδρεσιν ἠυκόμοισιν **4.** Γίνομαι/ἀποκτῶ (νέα) ἰδιότητα ἢ ποιότητα, become/acquire a (new) property or quality, Ἡράκλειτος 1.1 τοῦ δὲ λόγου τοῦδ' ἐόντος ἀεὶ ἀξύνετοι γίνονται ἄνθρωποι 63 ἔνθα δ' ἐόντι ἐπανίστασθαι καὶ φύλακας γίγνεσθαι ζώντων καὶ νεκρῶν Μέλισσος 7(2) καὶ οὔτ' ἂν ἀπόλοιτο οὔτε μεῖζον γίνοιτο 7(3) εἰ μὲν γάρ τι ἐγίνετο ἑτεροῖον, ἤδη ἂν καὶ μετακοσμηθείη 7(8) τὸ ἀραιόν γε κενεώτερον γίνεται τοῦ πυκνοῦ 8(2) καὶ μὴ μεταπίπτειν μηδὲ γίνεσθαι ἑτεροῖον, ἀλλὰ ἀεὶ εἶναι ἕκαστον Ἐμπεδοκλῆς 21.14 δι' ἀλλήλων δὲ θέοντα γίγνεται ἀλλοιωπὰ Διογένης 2.13 ἄλλοτε ἀλλοῖα γίνεται καὶ εἰς τὸ αὐτὸ ἀναχωρεῖ 5.17-19 οὐ μέντοι ἀτρεκέως γε ὅμοιον οὐδὲν οἷόν τε γενέσθαι τῶν ἑτεροιουμένων ἕτερον τῷ ἑτέρῳ, πρὶν τὸ αὐτὸ γένηται 6.46 αἱ δὲ φλέβες αἱ μὲν πρῶται ἐκ τῆς κοιλίας εὐρύτεραί εἰσιν, ἔπειτα λεπτότεραι γίγνονται 6.50 λεπτὸν καὶ θερμὸν καὶ ἀφρῶδες γίνεται Δημόκριτος 51 ἰσχυρότερος ἐς πειθὼ λόγος πολλαχῇ γίνεται χρυσοῦ 76 νηπίοισιν οὐ λόγος, ἀλλὰ ξυμφορὴ γίνεται διδάσκαλος 91 μὴ ὕποπτος πρὸς ἅπαντας, ἀλλ' εὐλαβὴς γίνου καὶ ἀσφαλὴς 154 μαθητὰς ἐν τοῖς μεγίστοις γεγονότας ἡμᾶς 155 εἰ κῶνος

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τέμνοιτο παρὰ τὴν βάσιν ἐπιπέδῳ, τί χρὴ διανοεῖσθαι τὰς τῶν τμημάτων ἐπιφανείας, ἴσας ἢ ἀνίσους γ ι γ ν ο μ έ ν α ς 159 εἰ τοῦ σώματος αὐτῇ δίκην λαχόντος, παρὰ πάντα τὸν βίον ὧν ὠδύνηται ‹καὶ› κακῶς πέπονθεν, αὐτὸς γ έ ν ο ι τ ο τοῦ ἐγκλήματος ‹δικαστὴς› 169 μὴ πάντα ἐπίστασθαι προθυμέο, μὴ πάντων ἀμαθὴς γ έ ν ῃ 181 συνέσει τε καὶ ἐπιστήμῃ ὀρθοπραγέων τις ἀνδρεῖος ἅμα καὶ εὐθύγνωμος γ ί γ ν ε τ α ι 224 ἡ τοῦ πλέονος ἐπιθυμίη τὸ παρεὸν ἀπόλλυσι τῇ Αἰσωπείῃ κυνὶ ἰκέλη γ ι ν ο μ έ ν η 228 οἱ τῶν φειδωλῶν παῖδες ἀμαθέες γ ι ν ό μ ε ν ο ι, ὥσπερ οἱ ὀρχησταὶ 233 εἴ τις ὑπερβάλλοι τὸ μέτριον, τὰ ἐπιτερπέστατα ἀτερπέστατα ἂν γ ί γ ν ο ι τ ο 234 ἀκρασίῃ δὲ τἀναντία πρήσσοντες αὐτοὶ προδόται τῆς ὑγείης τῇσιν ἐπιθυμίῃσιν γ ί ν ο ν τ α ι 235.4 αἱ μὲν ἡδοναὶ βραχεῖαί τε καὶ δι' ὀλίγου γ ί ν ο ν τ α ι 241 πόνος συνεχὴς ἐλαφρότερος ἑαυτοῦ συνηθείῃ γ ί ν ε τ α ι 242 πλέονες ἐξ ἀσκήσιος ἀγαθοὶ γ ί ν ο ν τ α ι ἢ ἀπὸ φύσιος 254 οἱ κακοὶ ἰόντες ἐς τὰς τιμάς . . . ἀνακηδέες γ ί γ ν ο ν τ α ι 255 ἐν τούτῳ ἤδη καὶ τὸ οἰκτίρειν ἔνεστι καὶ μὴ ἐρήμους εἶναι καὶ τὸ ἑταίρους γ ί γ ν ε σ θ α ι 279 ἅμα μὲν γὰρ πολλὸν φειδότεροι γ ί γ ν ο ν τ α ι ἐς τὰ χρήματα Ἀρχύτας 2.14 γ ί ν ε τ α ι δ' ἐν ταύτᾳ τᾷ ἀναλογίᾳ τὸ τῶν μειζόνων ὅρων διάστημα μεῖζον 3.2 δεῖ γὰρ ἢ μαθόντα παρ' ἄλλω ἢ αὐτὸν ἐξευρόντα, ὧν ἀνεπιστάμων ἦσθα, ἐπιστάμονα γ ε ν έ σ θ α ι. ‖ Ἐμπεδοκλῆς 26.7 εἰσόκεν ἓν συμφύντα τὸ πᾶν ὑπένερθε γ έ ν η τ α ι Δημόκριτος 266.4-7 αὐτὸν ἐφ' ἑτέροισι γ ί γ ν ε σ θ α ι. . . μὴ ὑπ' ἐκείνους γ ε ν ή σ ε τ α ι **5.** Γίνεται/συμβαίνει/πραγματώνεται, come about/happen/be realized, Ἀναξίμανδρος 1 ἐξ ὧν δὲ ἡ γένεσίς ἐστι τοῖς οὖσι, καὶ τὴν φθορὰν εἰς ταῦτα γ ί ν ε σ θ α ι κατὰ τὸ χρεών Ἡράκλειτος 110 ἀνθρώποις γ ί ν ε σ θ α ι ὁκόσα θέλουσιν οὐκ ἄμεινον Ἀρχύτας 1.12-13 οὐ δυνατόν ἐστιν ἦμεν ψόφον μὴ γ ε ν η θ ε ί σ α ς πληγᾶς τινων ποτ' ἄλλαλα, πλαγὰν δ' ἔφαν γ ί ν ε σ θ α ι, ὅκκα 3.8 πλεονεξία τε γὰρ οὐκ ἔστι τούτου γ ε ν ο μ έ ν ο υ καὶ ἰσότας ἔστιν Δημόκριτος 127 ξυόμενοι ἄνθρωποι ἥδονται καί σφιν γ ί ν ε τ α ι ἅπερ τοῖς ἀφροδισιάζουσιν 193 φρονήσιος ἔργον μέλλουσαν ἀδικίην φυλάξασθαι, ἀναλγησίης δὲ γ ε ν ο μ έ ν η ν μὴ ἀμύνασθαι 209 αὐταρκείῃ τροφῆς σμικρὴ νύξ (;) οὐδέποτε γ ί ν ε τ α ι 232 τῶν ἡδέων τὰ σπανιώτατα γ ι ν ό μ ε ν α μάλιστα τέρ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



πει 235.7 καὶ ὁκόταν γ έ ν η τ α ι ὁκοίων ἐπιθυμέουσι, διὰ ταχέος τε ἡ ἡδονὴ παροίχεται 253 εἰ δὲ ἀμελέοι τις τῶν δημοσίων, κακῶς ἀκούειν γ ί γ ν ε τ α ι 288 νόσος οἴκου καὶ βίου γ ί ν ε τ α ι ὅκωσπερ καὶ σκήνεος **6.** Γίνομαι/εἶμαι, become/be, Ἡράκλειτος 56 Ὁμήρῳ, ὃς ἐ γ έ ν ε τ ο τῶν Ἑλλήνων σοφώτερος πάντων Ἐμπεδοκλῆς 35.4 ἐν δὲ μέσῃ Φιλότης στροφάλιγγι γ έ ν η τ α ι 111.1 φάρμακα δ' ὅσσα γ ε γ ᾶ σ ι κακῶν καὶ γήραος ἄλκαρ πεύσῃ 117 ἤδη γάρ ποτ' ἐγὼ γ ε ν ό μ η ν κοῦρός τε κόρη τε Φιλόλαος 6.5 οὐχ οἷόν τ' ἦν οὐθὲν τῶν ἐόντων καὶ γιγνωσκόμενον ὑφ' ἁμῶν γα γ ε ν έ σ θ α ι μὴ ὑπαρχούσας τᾶς ἐστοῦς τῶν πραγμάτων Ἀναξαγόρας 6.5 οὐκ ἂν δύναιτο χωρισθῆναι, οὐδ' ἂν ἐφ' ἑαυτοῦ γ ε ν έ σ θ α ι Δημόκριτος 295 ὁ γέρων νέος ἐ γ έ ν ε τ ο Ἀρχύτας Α 24 (DK I 431,1) ἐν τῷ ἐσχάτῳ ... τῷ ἀπλανεῖ οὐρανῷ γ ε ν ό μ ε ν ο ς 1.56 φανερὸν ἁμῖν ἐκ πολλῶν γ έ γ ο ν ε ν.

**γι(γ)νώσκειν** (συνών. *γνωρίζειν*) **1.** Γνωρίζω/αναγνωρίζω, know/recognize/acknowledge, Ξενοφάνης 7.5 φίλου ἀνέρος ἐστὶν ψυχή, τὴν ἔ γ ν ω ν φθεγξαμένης ἀίων Ἡράκλειτος 97 κύνες καταβαΰζουσιν ὃν ἂν μὴ γ ι ν ώ σ κ ω σ ι Δημόκριτος 116 ἦλθον γὰρ εἰς Ἀθήνας καὶ οὔ τις με ἔ γ ν ω κ ε ν **2.** Γνωρίζω/έννοῶ, understand, Ἡράκλειτος 5 οὔ τι γ ι ν ώ σ κ ω ν θεοὺς οὐδ' ἥρωας οἵτινές εισι 17 οὐδὲ μαθόντες γ ι ν ώ σ κ ο υ σ ι ν 28 ὁ δοκιμώτατος γ ι ν ώ σ κ ε ι 57 ἡμέρην καὶ εὐφρόνην οὐκ ἐ γ ί ν ω σ κ ε ν ἔστι γὰρ ἓν 108 γ ι ν ώ σ κ ε ι ν ὅτι σοφόν ἐστι πάντων κεχωρισμένον Παρμενίδης 2.7 οὔτε γὰρ ἂν γ ν ο ί η ς τό γε μὴ ἐὸν Μέλισσος 8(3) μήτε ὁρᾶν μήτε τὰ ὄντα γ ι ν ώ σ κ ε ι ν Ἀναξαγόρας 5 γ ι ν ώ σ κ ε ι ν χρή, ὅτι πάντα οὐδὲν ἐλάσσω ἐστὶν οὐδὲ πλείω 12 πάντα ἔ γ ν ω νοῦς Δημόκριτος 8 ἐτεῇ οἷον ἕκαστον γ ι ν ώ σ κ ε ι ν ἐν ἀπόρῳ ἐστὶ **3.** Γνωρίζω/μαθαίνω, recognize/learn, Ἐμπεδοκλῆς 4 γ ν ῶ θ ι διασσηθέντος ἐνὶ σπλάχνοισι λόγοιο 89 γ ν ο ύ ς, ὅτι πάντων εἰσὶν ἀπορροαὶ ὅσσ' ἐγένοντο Δημόκριτος 6 γ ι ν ώ σ κ ε ι ν τε χρὴ ἄνθρωπον τῷδε τῷ κανόνι, ὅτι ἐτεῆς ἀπήλλακται Ἀρχύτας 1.29 οὐ μόνον δέ κα τούτῳ γ ν ο ί η μ ε ν **4.** Γνωρίζω/έχω ἐπίγνωση, have knowledge/be aware of, Δημόκριτος 198 ὁ δὲ χρῄζων οὐ γ ι ν ώ σ κ ε ι 229 ἐν και-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ